**Αινούμεν, ευλογούμεν καί προσκυνούμεν τόν Κύριον.**

Ο Ιερεύς: Τήν Θεοτόκον καί Μητέρα τού Φωτός, εν ύμνοις τιμώντες μεγαλύνωμεν.

- Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν, τών άνω στρατευμάτων. Δίς
- Μεγάλυνον ψυχή μου, τόν κατά τόν Νόμον, σαρκί περιτμηθέντα.
- Μεγάλυνον ψυχή μου, τόν εν τή ογδόη, περιτομήν λαβόντα.
- Σήμερον ο Δεσπότης, τέμνεται τήν σάρκα, ως βρέφος πληρών τόν Νόμον.
- Σήμερον ό Δεσπότης, σαρκί περιετμήθη, καί Ιησούς εκλήθη.

Έτερα εις τόν Κανόνα τού Αγίου.

- Μεγάλυνον ψυχή μου, τόν εν Ιεράρχαις, Βασίλειον τόν Μέγαν.
- Μεγάλυνον ψυχή μου, τόν εκ Καισαρείας, Βασίλειον τόν Μέγαν.
- Μεγάλυνον ψυχή μου, τόν τής οικουμένης, υπέρλαμπρον φωστήρα.
- Μεγάλυνον ψυχή μου, τόν κεκοσμηκότα, Χριστού τήν Εκκλησίαν.

Δόξα...

Μεγάλυνον ψυχή μου, τής τρισυποστάτου, καί αδιαιρέτου, θεότητος τό κράτος.

Καί νύν...

Μεγάλυνον ψυχή μου, τήν λυτρωσαμένην, ημάς εκ τής κατάρας.

Μεγαλύνει η ψυχή μου τόν Κύριον, καί ηγαλλίασε τό πνεύμά μου επί τώ Θεώ τώ σωτήρί μου.

Τήν Τιμιωτέραν τών Χερουβείμ, καί ενδοξοτέραν ασυγκρίτως τών Σεραφείμ, τήν αδιαφθόρως Θεόν Λόγον τεκούσαν, τήν όντως Θεοτόκον, σέ μεγαλύνομεν.

Ότι επέβλεψεν επί τήν ταπείνωσιν τής δούλης αυτού, ιδού γάρ από τού νύν μακαριούσί με πάσαι γενεαί,

Τήν Τιμιωτέραν τών Χερουβείμ...

Ότι εποίησέ μοι μεγαλεία ο Δυνατός, καί άγιον τό όνομα αυτού, καί τό έλεος αυτού εις γενεάν, καί γενεάν τοίς φοβουμένοις αυτόν.

Τήν Τιμιωτέραν τών Χερουβείμ...

Εποίησε κράτος εν βραχίονι αυτού, διεσκόρπισεν υπερηφάνους διανοία καρδίας αυτών.

Τήν Τιμιωτέραν τών Χερουβείμ...

Καθείλε δυνάστας από θρόνων, καί ύψωσε ταπεινούς, πεινώντας ενέπλησεν αγαθών, καί πλουτούντας εξαπέστειλε κενούς.

Τήν Τιμιωτέραν τών Χερουβείμ...

Αντελάβετο Ισραήλ παιδός αυτού, μνησθήναι ελέους, καθώς ελάλησε πρός τούς πατέρας ημών, τώ Αβραάμ, καί τώ σπέρματι αυτού έως αιώνος.

Τήν Τιμιωτέραν τών Χερουβείμ...

Μεγάλυνον ψυχή μου, τόν εθελουσίως παθόντα καί ταφέντα καί εξαναστάντα τριήμερον εκ τάφου.
Μεγάλυνον ψυχή μου τόν εξαναστάντα, τριήμερον εκ τάφου, Χριστόν τόν ζωοδότην.
Χριστός τό καινόν πάσχα, τό ζωόθυτον θύμα, αμνός Θεού ο αίρων τήν αμαρτίαν κόσμου.
Σήμερον πάσα κτίσις αγάλλεται καί χαίρει, ότι Χριστός ανέστη, καί άδης εσκυλεύθη.
Μεγάλυνον, ψυχή μου, τής τρισυποστάτου καί αδιαιρέτου θεότητος τό κράτος.
Χαίρε, Παρθένε, χαίρε, χαίρε ευλογημένη, χαίρε δεδοξασμένη, σός γάρ Υιός ανέστη τριήμερος εκ τάφου.

Ο Άγγελος εβόα τή κεχαριτωμένη, Αγνή Παρθένε, χαίρε, καί πάλιν ερώ, χαίρε, ο σός Υιός ανέστη τριήμερος εκ τάφου.
Αι γενεαί πάσαι, μακαρίζομέν σε, τήν μόνην Θεοτόκον.
Άγγελοι τήν Κοίμησιν τής Παρθένου, ορώντες εξεπλήττοντο, πώς η Παρθένος απαίρει, από τής γής εις τά άνω.